ταῦτα διακοῦσαι πρῶτον ἡμᾶς. : (ΣΩ.) Ὄρθριον
τὸν Πυρρίαν τὸν συγκυνηγὸν οἴκοθεν
ἐγὼ πέπομφα —: (ΧΑ.) Πρὸς τίν'; :
(ΣΩ.) αὐτῷ τῷ πατρὶ
ἐντευξόμενον τῆς παιδὸς ἢ τῶι κυρίωι
τῆς οἰκίας ὅστις ποτ' ἐστίν. : (ΧΑ.) Ἡράκλεις,
οἷον λέγεις. : (ΣΩ.) Ἥμαρτον· οὐ γὰρ οἰκέτηι
ἥρμοστ' ἴσως τὸ τοιοῦτ⟨ον⟩. Ἀλλ' οὐ ῥάιδιον
ἐρῶντα συνιδεῖν ἐστι τί ποτε συμφέρει.
Καὶ τὴν διατριβὴν ἥτις ἔστ' αὐτοῦ πάλαι
τεθαύμακ'· εἰρήκειν γὰρ εὐθὺς οἴκαδε
αὐτῶι παρεῖναι πυθομένωι τἀνταῦθά μοι. :

ΠΥΡΡΙΑΣ

Πάρες, φυλάττου, πᾶς ἄπελθ' ἐκ τοῦ μέσου·
μαίνεθ' ὁ διώκων, μαίνεται.: (ΣΩ.) Τί τοῦτο, παῖ; :
(ΠΥ.) Φεύγετε. : (ΣΩ.) Τί ἐστι; :
(ΠΥ.) Βάλλομαι βώλοις, λίθοις.
Ἀπόλωλα. : (ΣΩ.) Βάλλει; Ποῖ, κακόδαιμον; :
(ΠΥ.) Οὐκέτι
ἴσως διώκει; : (ΣΩ.) Μὰ Δί'. : (ΠΥ.) Ἐγὼ δ' ᾤμην.:
(ΣΩ.) Τί δαὶ
λέγεις; : (ΠΥ.) Ἀπαλλαγῶμεν, ἱκετεύω σε. :
(ΣΩ.) Ποῖ; :
(ΠΥ.) Ἀπὸ τῆς θύρας ἐντεῦθεν ὡς πορρωτάτω.
Ὀδύνης γὰρ ὑὸς ἢ κακοδαιμ⟨ον⟩ῶν τις ἢ